## Lucian, De Dea Syria, 1

ἐστιν ἐν Συ^ίῃ πόλις οὐ πολλὸν ἀπὸ τοῦ Ἐύφρήτεω ποταμοῦ, καλέεται δὲ Ἱρή, καὶ ἔστιν ἱρὴ
τῆςἭρης τῆς Ἀσσυρίης. δοκέει δέ μοι, τόδε τὸ οὔνομα οὐκ ἅμα τῇ πόλει οἰκεομένῃ] ἐγένετο,
 ἀλλὰ τὸμὲν ἀρχαῖον ἄλλο ἦν, μετὰ δὲ σφίσι τῶν ἱρῶν μεγάλων γιγνομένων ἐς τόδε ἡ ἐπων
υμίη ἀπίκετο.περὶ ταύτης ὦν τῆς πόλιος ἔρχομαι ἐρέων ὁκόσα ἐν αὐτῇ ἐστιν: ἐρέω δὲ καὶ νό
μους τοῖσιν ἐς τὰἱρὰ χρέωνται, καὶ πανηγύριας τὰς ἄγουσιν καὶ θυσίας τὰς ἐπιτελέουσιν. ἐ
ρέω δὲ καὶ ὁκόσα καὶπερὶ τῶν τὸ ἱρὸν εἱσαμένων μυθολογέουσι, καὶ τὸν νηὸν ὅκως ἐγένετο.
 γράφω δὲ Ἀσσύριος ἐών,καὶ τῶν ἀπηγέομαι τὰ μὲν αὐτοψίῃ μαθών, τὰ δὲ παρὰ τῶν ἱρέων
ἐδάην, ὁκόσα ἐόντα ἐμεῦπρεσβύτερα ἐγὼ ἱστορέω.

Lucian. Works. with an English Translation by. A. M. Harmon. Cambridge, MA. Harvard University Press. London. William Heinemann Ltd. 1925. 4.

The National Endowment for the Humanities, Google Digital Humanities Awards Program provided support for entering this text.

This text was converted to electronic form by optical character recognition and has been proofread to a high level of accuracy.

## Lucian. A True Story, 2.14

[14] τὸ δὲ συμπόσιον ἔξω τῆς πόλεως πεποίηνται ἐν τῷ Ἠλυσίῳ καλουμένῳ πεδίῳ: λειμὼν
δὲἐστιν κάλλιστος καὶ περὶ αὐτὸν ὕλη παντοία πυκνή, ἐπισκιάζουσα τοὺς κατακειμένους. κ
αὶστρωμνὴν μὲν ἐκ τῶν ἀνθῶν ὑποβέβληνται, διακονοῦνται δὲ καὶ παραφέρουσιν ἕκαστα ο
ἱ ἄνεμοιπλήν γε τοῦ οἰνοχοεῖν τούτου γὰρ οὐδὲν δέονται, ἀλλ᾽ ἔστι δένδρα περὶ τὸ συμπόσι
ον ὑάλιναμεγάλα τῆς διαυγεστάτης ὑάλου, καὶ καρπός ἐστι τῶν δένδρων τούτων ποτήρια π
αντοῖα καὶ τὰςκατασκευὰς καὶ τὰ μεγέθη. ἐπειδὰν οὖν παρίῃ] τις ἐς τὸ συμπόσιον, τρυγήσα
ς ἓν ἢ καὶ δύο τῶνἐκπωμάτων παρατίθεται, τὰ δὲ αὐτίκα οἴνου πλήρη γίνεται. οὕτω μὲν πίν
ουσιν, ἀντὶ δὲ τῶνστεφάνων αἱ ἀηδόνες καὶ τὰ ἄλλα τὰ μουσικὰ ὄρνεα ἐκ τῶν πλησίον λειμ
ώνων τοῖς στόμασινἀνθολογοῦντα κατανείφει αὐτοὺς μετ᾽ ᾠδῆς ὑπερπετόμενα. καὶ μὴν κα
ὶ μυρίζονται ὧδε: νεφέλαιπυκναὶ ἀνασπάσασαι μύρον ἐκ τῶν πηγῶν καὶ τοῦ ποταμοῦ καὶ ἐ
πιστᾶσαι ὑπὲρ τὸ συμπόσιονὴρέμα τῶν ἀνέμων ὑποθλιβόντων ὕουσι λεπτὸν ὥσπερ δρόσο
ν.

Lucian. Works. with an English Translation by. A. M. Harmon. Cambridge, MA. Harvard University Press. London. William Heinemann Ltd. 1913. 1.

The National Endowment for the Humanities, Google Digital Humanities Awards Program provided support for entering this text.

This text was converted to electronic form by optical character recognition and has been proofread to ahigh level of accuracy.